*οὕτω συγκόλλως ὥστε σύναιμα ποιεῖν.* ⊗
*τοῦτο δὲ σημαίνει σικύας προσβολήν.*

1 Arist. *Rhet. Γ* 2 p. 1405$^{b}$1, *Poet.* 22 p. 1458$^{a}$29, Demetr. *de eloc.* 102, Plut. *sept. sap. conv.* 10 p. 154b, etc.

**2** *Δισσοὶ λόγοι* (*Vorsokr.* 90 D.-K.) 3. 11

⊗ *ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίως,*
*καὶ τὸ βίαι ῥέξαι τοῦτο δικαιότατον.* ⊗

**3** Plut. *sept. sap. conv.* 5 p. 150e *ὁ δὲ Αἴσωπος "εἴ γε" εἶπεν "εἰδείης ὦ ξένε τοὺς νῦν αὐλοποιοὺς ὡς προέμενοι τὰ νέβρεια χρῶνται τοῖς ὀνείοις καὶ βέλτιον ἠχεῖν λέγουσιν. διὸ καὶ Κλεοβουλίνη πρὸς τὸν Φρύγιον αὐλὸν ᾐνίξατο·*

⊗ *κνήμηι νεκρὸς ὄνος με κερασφόρωι οὖας ἔκρουσεν.*

# CLONAS

Tegeata vel Thebanus
s. vii vel prius

Ps.-Plut. *de musica* 3 p. 1132c *Κλονᾶν τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι* (sc. *φησὶν Ἡρακλείδης ὁ Ποντικός*, fr. 157 Wehrli).

# CRITIAS

Atheniensis
ca. 460-403

**2** Ath. (epit.) 28b

*κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,*
*ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα.*